διηρημένα ταῦτα, τῷ κατ' τάξιν πρότερον καὶ ὕστερον ἀνίκειται. ἅτε καὶ ἴσοστοιχοῦντα, καὶ τὴν αὐτὴν ἔχοντα τάξιν. ὁ μὲν γὰρ ἰάμβλιχος λέγει, μήποτε δὲ τὰ ἅμα κυρίως οὐδὲ ἀνέχει τάξεως. ἡ γὰρ τάξις ἐνδιακρίσει. σημειωτέον δὲ φησὶν ἰάμβλιχος, ὅτι ἐν πολλοῖς δεῖ τινὰ ἀντιδιακρίνεσθαι εἴδη καὶ ἅμα εἶναι τῇ φύσει· οὐκ ἔστιν. ἐν οἷς τὸ μὲν, πρότερόν ἐστι. τὸ δὲ, ὕστερον. καὶ οἷον τὸ πνεῦμα καὶ πνεῖν καὶ ὕδωρ, εἴδη τῶν ὑγρῶν. ἔστι δὲ ἅμα καὶ τὰ ἐν τῷ αὐτῷ τόπῳ ἐγγινόμενα ἀλλήλων. ὡς πρὸ καὶ πρότερον καὶ ὕστερον ἐλέγετο κατὰ τόπον. τὰ γὰρ ἐν τῷ αὐτῷ τόπῳ, καὶ ἐν τῷ αὐτῷ ἀγείῳ ὄντα, ἅμα λέγομεν καὶ ὁμοῦ. τὸ δὲ ἅμα, τῷ ὁμοῦ ὡσαύτως λέγεται. Ἡδὴ ἅμα πολεμόστε δαμᾶ καὶ λοιμὸς ἀχαιοὺς φθίσιν ὅμμορος. καὶ καθάπερ δὲ ἅμα φαμὲν, τὰ ἐν τῷ αὐτῷ τόπῳ κείμενα. Ὁμοίως καὶ ὁμοῦ, τοὺς ἐν τῇ αὐτῇ οἰκίᾳ οἰκοῦντας. καταχρῆνται δὲ τῷ ἅμα καὶ ἐπὶ τῶν νοουμένων πολλῶν. ὡς ἐπὶ τὸ ἅμα πολιτεύεσθαι. μήποτε δὲ οὐδὲν τούτων τὰ δεκτικὰ ἅμα κυρίως συμβαίνει λέγειν, ἀμὴ δὲ πολλαχῶς. οὔτε γὰρ ἐν τῷ αὐτῷ τόπῳ δύο σώματα εἶναι, οὔτε καθάπερ δύνατ', ἵνα καὶ ἅμα λέγεται κυρίως. διὸ καὶ πρῶτον αὐτὰ ὁ ἀριστοτέλης. ἐπισημειωτέον δὲ καὶ τοῦτο φησὶν ἰάμβλιχος, ὅτι τῶν μὲν κατὰ χρόνον ἅμα ἀνιθέμεν τὸ κατὰ χρόνον πρότερον καὶ ὕστερον. ἐπὶ δὲ τῶν κατὰ τόπον, ἀντιτίθεται τὸ χωρίς. διὸ ἐν τοῦτο. τὸ μὲν, ἐν ἄνω καὶ ἄνω τόπῳ. τὸ δὲ, καθ' ἕνα. ὡς ἀντιτίθεται τὸ νοεῖν. οἱ βασάσωμεν τοῦτο νοεῖν. οὔτε κατὰ τόπον, οὔτε κατὰ χρόνον τὸ νοεῖν λέγοντες, ἀλλὰ κατὰ τὴν ἐνέργειαν. μήποτε δὲ ἐν τῇ μετὰ τὰ φυσικὰ τὸ πρότερον καὶ ὕστερον κατὰ τόπον ἀφορίζεται. πρότερον μὲν καὶ κατὰ τόπον λέγων, τὸ τῇ ὥρισμένῃ ἀρχῇ κατὰ τόπον πλησιαίτερον. ὕστερον δὲ, τὸ πρότερον λεγόμενον, τὸ ἅμα καὶ τὸ τόπον τῷ προτέρῳ τοῦ τῷ ὑστέρῳ ἀνικείμενον. ἔστι δὲ καὶ ἅμα καὶ τόπον, τὸ καὶ τόπον χωρὶς ἀντικείμενον. ἡδὴ τὸ ἀπορεῖ διὰ τὴν μὴ πάσῃ τοῦ γένους ἐπεξῆλθεν ὁ ἀριστοτέλης, ἀρκεῖ λέγειν, ὅτι ὅσα πρὸς σαφήνειαν αὐτῶν τῶν φθασάντων ἤρμοττε, ταῦτα διώρθωσε τὰ παραλιμπανόμενα, διὰ τὸ τῆς ἁπλότητος σύμμετρον. αὐτίκα τὸ ἅμα εἶναι τὰ ἐκ τῶν γένους ἀντιδιαιρούμενα ἀλλήλοις, ἃς καὶ ἔχει τὴν ἀναφορὰν τὴν ἑτέρων γενῶν, καὶ μὴ τὰ ἄλλα τεταγμένα. Ὁ ὅπου δὲν μὴ ἐν ταῖς οὐσίαις οὖσαις τὰ ἕτερα τῶν ἑτέρων οὐσῶν. καὶ τὸ ἀντιστρέφειν δὲ μὴ ἀεὶ ὄντος θατέρου τῷ πρὸς τὴν ἐλέγετο. ὅτε καὶ ἅμα ἀλλὰ τῇ φύσει εἶναι ἔλεγε. διὸ καὶ νῦν τὸ ἅμα, διὰ τὴν ἅμα εἶναι τῇ φύσει ἐδόκει ὡς οἰκείου τοῖς ἀριθμοῖς. ἀλλὰ ταῦτα μὲν περὶ τούτων.

ΠΕΡΙ ΚΙΝΗΣΕΩΣ.

Κινήσεως δὲ ἐστιν εἴδη ἕξ. ἕως τοῦ, ὥστε ἕτεραι ἂν εἴκοσιν αἱ κινήσεις ἀλλήλων. Ἐμνημόνευσε μὲν τῆς κινήσεως, καὶ ἐν τῷ περὶ τοσοῦτον λόγῳ. αἱ δὲ περὶ τὸ ποιεῖν καὶ πάσχειν καὶ κατηγορίαι, οὕτως εἶχον συγκρίσεως πρὸς τὴν κίνησιν, ὡς καὶ γένος ἀμφοῖν δόξαν τὴν κίνησιν, ὡς τοῖς τυχοῦσι τῶν φιλοσόφων. ἐκ τούτου δὴ καὶ περὶ κινήσεως λέγεται τὰ εἴδη τῆς κινήσεως διαιρούμενος. τοῦτ' ἔστι τῆς μεταβολῆς. νοεῖν δὲ τὴν κίνησιν εἴωθεν, ἀντὶ τῆς μεταβολῆς. ἐπειδὴ

δὲ ἐν τῇ πεῖ οὐσίας λόγοις τ ἄρμοῦ οὐσίαν καὶ τὴν ἐν αὐτῇ μεταβολὴν ἔλεγε δὲ χρῆ
σθαι τὰ ἐναντία, ἢ ἀνάτως διαιρεῖται τὴν μεταβολήν. καὶ εἴδη δὲ ποιοῦ τέρα εἴωσιν. οὐ
δὲ δικῆ αὐτῶν χρῆσις εἶναι ἡ μεταβολή, καὶ διαιρεῖ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκρο-
άσεως, εἴς τε γένεσιν καὶ φθορὰν, καὶ ἐς τὰς ἄλλας μεταβολὰς, ἃς κινήσεις καλεῖ.
αὔξησιν. μείωσιν. ἀλλοίωσιν. καὶ τὴν κατὰ τόπον μεταβολήν. ἀλλὰ εἰς μὲν ἡ οὐ
σία τῆς κινήσεως, καὶ εἰς ὁ ὅρος αὐτῆς. καὶ ἐν γένος ὄν, ἡ οὐ. καὶ τὰ ἅμα πεῖ αὐτῆς
ἀκριβῆ θεωρήματα ἐν ἄμοις ἐξήτασται, τῆς φυσικῆς οὖν τὰ πραγματείας οἰκεῖα.
διαιρέσεις δὲ τινὰς αὐτῆς παραδέδωκεν. ὡς πρὸς ἐνθεν ἐν ταῖς ἑξῆς γίνεσθαι,
καὶ ταύτας ἐπισκεπτέον. ποῦ γὰρ πρόσει ποῖον ὡς νῦν πεῖ κινήσεως, οὐνοεράς κ
ψυχικῆς ὁ λόγος, ἀλλὰ τῆς φυσικῆς καὶ σωματικῆς. ἐπεὶ οὖν τὸ κινούμενον ὡς σῶ-
μα τοῦ ἐνῶ κῆ πρότερον ἐξέτασται. ἐξέτασται δὲ τὰ μὲν, κατ' οὐσίαν. τὰ δὲ, κατὰ
ποσότητα. τὰ δὲ, κατὰ ποιότητα. τὰ δὲ, κατὰ τόπον ποιούμενα τὴν μεταβο-
λήν. κοινῶς πάντα χρῆ τοῦ μεταβάλλειν θεωρουμένου, τέσσαρες γίνονται διαφο-
ραί. ὧν τινὲς δι' πλαῖ. ἡ μὲν γὰρ κατ' οὐσίαν, γένεσις καὶ φθορά. ἡ δὲ κατὰ πο-
σότητα, αὔξησις καὶ μείωσις. ἡ δὲ κατὰ ποιότητα, ἀλλοίωσις. ἡ δὲ κατὰ τόπον,
φορά. διαιρουμένη καὶ αὐτῆς εἰς τὴν κύκλῳ καὶ τὴν ἐν εὐθείας, καὶ τὴν μικτήν. ἐξ-
καλεῖ δὲ ὁ μὲν πρῶτος, ὅτι ἐν μὲν τῇ φυσικῇ ἀκροάσει, τὴν γένεσιν καὶ τὴν φθορὰν
οὐβούλεται εἶναι κινήσεις. ἐν ταῦθα δὲ καὶ αὐτὸς μικτὰς κινήσεις συγκαταριθ-
μεῖ. καίτοι ἐξ ἀδόλου ὧν σωφρῶν. ὅτι πρῶτον μὲν ἐκεῖνος ὧν ποιῶς ἐν ταῦθα τῷ ὀνόμα-
τι χρήσασθαι τῆς κινήσεως, ἀντὶ τῆς μεταβολῆς. ἐπεί τοι τὸ ἐν ταῦθα ὡς ἐν ἐξαγω-
γῇ κατὰ τὴν κεκρατηκυῖαν σωνήθειαν ἐχρήσατο τῷ ὀνόματι. ὕστερον δὲ ἐν τῇ φυσι-
κῇ ἀκροάσει πρὸς ὁ μόνον πεῖ τοῦ ποιούμενος λόγου, τὸ ἀρέσκον ἑαυτῷ δοκιμά-
ζει, τὰ γιγνόμενα καὶ φθειρόμενα μὴ ἀξιῶν λέγειν κινεῖσθαι. διότι ἡ κίνησις τῶν ὑφε-
στηκότων ἐστί. μεταβάλλει δὲ καὶ ταῦτα κἀκεῖνα. διὸ ποιῶν ἔθετο τὴν μεταβολὴν
ἐκεῖ. καὶ τὴν γένεσιν καὶ φθορὰν, οὐκέτι κινήσεις, ἀλλὰ μεταβολὰς ἀφωρίσατο. Γρέ-
γορι δὲ ὅτι δὴ μόνῃ ἀρχὰς τῶν ὄντων τὰς ἀτόμους ὑποθέμενος, μόνην τὴν κατὰ τόπον
ἐστὶν κίνησιν. καὶ γὰρ τὰ ἀλλοιούμενα, κατὰ τόπον ἡγεῖται κινεῖσθαι. λανθάνει δὲ, ἐν τῷ
μὴ ὅλα τὰ μέρη τόπον ἀμείβει, ἀλλὰ τινὰ ἀφανῆ μένοντα. διὸ μόνα δοκεῖ κατὰ
τόπον κινεῖσθαι τὰ ἀιδιότατα συγκρίματα μεταβάντα τόπον ἐκ τόπου. ὅλα ὁμοῦ.
ἢ ὧν ἂν μέρη ἀιδιότατα μέρος κινῆται τοῖς ἀλλήλων μεταλαμβάνοντα τόπους, ὡς
τὰ ἡμικυκλίου καὶ τῆς σφαίρας μέρη, ὅταν πεῖ ἄξονα ἡ σφαῖρα γίνηται. πλὴν δεῖ σκο-
πεῖν ὅτι πολλὰ τῶν κινουμένων οὐκ τόπον κινεῖται, ὡς τὰ θερμαινόμενα καὶ λευκαι-
νόμενα, δεύτερον ἔστι γε τὴν ἀλλοίωσιν, ὡς ἑτέραν τῆς κατὰ τόπον. ἐπὶ μήτε κατὰ ἀνθιμε-
τάστασιν μόνῳ, μήτε κατὰ τῶν ὅλων ἔκστασιν γινομένῳ. ἀρίστοτελης δὲ καὶ τὴν κατὰ τό-
πον προστέθηκεν. ὡς μὴ ἀξιοῦν τινὲς μικτὴν οὖσαν ἐξ ἀλλοιώσεως καὶ φθορᾶς. μόνῃ δὲ ἀπλῆ
οὖσαν. τῆς γὰρ ἀλλοιώσεως, διαφέρει ὅσον τὸ ποσὸν τοῦ ποιοῦ διεστήκοχε. τῆς δὲ φθο-
ρᾶς, ὅτι οὐκ ἀπολείπει τόπον ὡς τὰ φερόμενα. ἢ δὲ ἐπιλαμβάνει τόπον πλείω, τοῦ
ἐξ ἀρχῆς τὸ αὐξόμενον, ἢ ἀπολείπει τὸ μειούμενον, ἢ ἐπίληψις καὶ ἀπόληψις

Universitäts- und
Landesbibliothek Düsseldorf

τὸ ποσὸν καὶ συμβεβηκὸς ρμ'. προκοπουμένως δὲ, καὶ τὸ ποσὸν σωίσταται κίνησις. ὁ
μέχρι πλατ πᾶσαν τ κατ εἶδος διαφορὰν μένοντος τ ὑποκειμένου, ὡς ἀηδόνιον, ἀη-
δὸν μὴ ὡς ἄλλο ποιοῦσαν, ἀηδονίσιν ἐκάλεσεν. ὑ πέπτωκε δὲ ἄλλη καὶ αὔξησις, καὶ καὶ
ποιότητα μεταβολή. μή ποτε δὲ καὶ αὔξησις καὶ μείωσις ἐν μέσῳ τῆς τε γενέσεως καὶ
φθορᾶς καὶ τῆς ἀλλοιώσεως καθεστήκαν. καὶ τὸ καθόσον μὴ οὐσίας προσθήκη ρμ' καὶ ἀφ-
βολὴ, γενέσει καὶ φθορᾷ εἴοικε. καθόσον μέχρι μένοντος τ ἄλλου εἴδους ἡ μεταβολὴ
ρμ', ἀλλοίωσις μᾶλλον τὸ συμβαῖνον. οἱ δὲ μὴν τοι καὶ πλατ τ αὔξησιν καὶ μείωσιν καὶ
πρὸ ἀριστοτέλους ἐν τῷ δεκάτῳ τῶν λόγων γράφων οὕτως. Καὶ μὴν συγκρινόμενα αὐ-
τῶν αὐξάνεται. διακρινόμενα δὲ, φθίνει τότε ὅταν ἡ καθεστηκυῖα τάξις ἑκάστων διά-
μεν. ἄλλος μέχρι, οὐ μὴ ἐξ μόνον, ἀλλ' ὀκτὼ ποιεῖ τὰ τ φυσικῶν κινήσεων εἴδη, προς-
τιθεὶς τρύτοις τ σύγκρισιν καὶ διάκρισιν τῶν σωμάτων. ἐπομένην μὴ τῇ καὶ τόπον κινή-
σει. οὐκ ἄλλην δὲ τὴν ἄλλην οὖσαν. λαμβάνει δὲ τ ἀριστοτέλους ὀνομάτων, ὡς οὐ κα-
λῶς διάφορον τῆς αὐξήσεως τ ἀλλοίωσιν διὰ τ πρὸς δείγματος ἀφ δείξαντος, τ καὶ
τὸ τετράγωνον καὶ τ γνώμονος πρὸς θέσιν, ὡς αὐξομένου μὲν, οὐ μέχρι ἀλλοιουμένου. δι-
πλᾶσ ἁρμόσιν εἶναι τὰ σχήματα. τὰ μὲ, σωματικὰ καὶ ὕλα. τὰ δὲ, μαθηματικὰ ἀ
ὕλα. καὶ ἃ μὲν πρὸ τοῦ ὅλου λέγοιτο τετραγώνου, οὔτε ἀλλοιοῦται, οὔτε αὔξεται
ἑκάνο, ἄρεπτα ὄντα ἑκάνα καὶ ἀναλλοίωτα, ἅτε ἔξω ποιότητος ὄντα ἀ ὕλης. ἃ δὲ πρὸ
τῆς ἐν ὕλῃ φυσικὴ λέγοιτο τὸ ὡς πρὸς αὔξεται, οὕτω ἀ ἀλλοίωται. ὁ δὴ τάττα λέγων,
ἔοικε μὴ διορίζειν καθ' ἁρίστοτέλην. τ μὲν ἀλλοίωσιν ἐπὶ τῆς κατὰ ποιότητα μετα-
βολῆς. τὴν δὲ αὔξησιν, ἐπὶ τῆς κατὰ ποσότητα. ἀλλ' ὡς εἴρηται πρότερον, πᾶσαν
τὴν κατὰ τὸ εἶδος μεταβολὴν, μένοντος τοῦ ὑποκειμένου, ἀλλοίωσιν καλεῖ. διόπερ καὶ
τὸ αὐξόμενον εὐθὺς ἀλλοιοῦσθαι φησίν. ἔδει δὲ ἐννοεῖν, ὅτι καὶ αὐξάνεσθαι δύνατον
ἐν τῇ ἀλλῇ μορφῇ μένον, καὶ τῇ αὐτῇ ποιότητι. κατὰ μέγεθος μόνης γινομένης τῆς
διαφορᾶς. ὡς ὅταν τ ἀλεξάνδρου εἶδος, καὶ ἐν σφενδόνῃ δακτύλου γένοιτο. καὶ
ἐν τῷ ἄθωϊ ἑπτὰ ὀστῶν ἀλεξάνδρου σχῆμα πάθοιτο. διὸ καὶ ἰδίως ποιὸς ἐκλήθη
μέχρι ἥρως, ὁ ἄλλος διαμένειν λέγει τοῦ ποσοῦ ἀμειβομένου. τ δὲ εἴδους μένοντος,
ἀ πάλιν τ ἄλλου μένοντος μεγέθους, οὐδὲν κωλύει μεταβάλλειν καὶ ποιότητα.
ὡς πρόοιμος βαπεὶς, μετέβαλε μὲν καὶ ποιόν, μένει δὲ τῷ ποσῷ αὐτὸς. ἀλλὰ τίς ὁ γνώ-
μων, καὶ πῶς τετράγωνον αὐξεῖ τῇ προθέσει τ γνώμονος, σαφέστερον διὰ τοῦ ἀ λέω
μεθόδου ἐκτέον. τετράγωνον σχῆμα καλεῖται, τὸ τὰς τέσσαρας πλευρὰς τε καὶ γωνίας
ἴσας ἀλλήλας ἔχον. οἷον τὸ α. β. γ. δ. τούτου διάμετρος ἤχθω, ἡ β. γ. καὶ ἐπιλήφθω
ἐπὶ τῆς α β, τυχόν σημεῖον τὸ ε. ἀ δὲ τὸ ε, ὁποτέρᾳ τ α γ β δ παράλληλος ἤχθω,
ἡ ε. ζ. διὰ τ κ. ὁ πρὸς ἐστὶ ποιῶν ἡ τομὴ τῆς τε διαμέτρου, καὶ ἀφαιρεῖσις παραλληλόγραμμα
τῶν α β γ δ παραλλήλοις ἤχθω, ἡ η θ. ἀ ἐν τῷ α β γ δ χωρίῳ, τέσσαρων ὄντων τετρα-
πλευρῶν τ κα, καὶ ἀ τ β κ, ἀ κ γ, καὶ κ δ, τετράγωνά ἐστι. τὰ δὲ α κ, κ δ, ἅπερ παρα-
πληρώματα λέγει ὡς συμπληροῦντα τὸ ὅλον σχῆμα μετὰ τῶν δύο τετραγώνων, πρὸς τοῦ
μέχρι ἔχοντ τ τάξιν διὰ τὸ ὁρισμένον. ταῦτα οὖν τὰ δύο παραπληρώματα, τὸ α κ, κ δ,
μεθ' ἑνὸς τετραγώνου ὁποιουοῦν, γνώμων καλείσθω. καὶ ὁ τῷ τρίτῳ ἐοικὼς σχῆμα.

καὶ ὅτι γνωμογενὲς καὶ κρίνει τὸ λοιπόν. καὶ τὸ ἀφαιρούμενος, ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς καταλείπουσι. καὶ προστιθέμενος, ὁμοιόσχημον τῷ ὅλῳ τῷ ἐξ ἀρχῆς. ἐπεὶ οὖν τετράγωνόν ἐστι τὸ καταλειπόμενον, ἀφαιρουμένου τοῦ γνώμονος, δῆλον ὅτι καὶ τετραγώνῳ γνώμων προστεθῇ, τετράγωνον γίνεται τὸ ὅλον. τοῦ μὲν ποιοῦ, μέγεθος. τετράγωνον γὰρ. τὸ δὲ ποσοῦ, ἀμφιβολεῖ. μεῖζον τὸ ἐξ ἐλάττονος. ἐὰν οὖν μήτε αὐξόμενον μήτε μειούμενον τὸ τετράγωνον ἀλλοιοῦται ὑπομένει, δῆλον ὡς ἅμα μὴ κινήσεις αἱ κατὰ αὔξησιν καὶ μείωσιν, ἅμα δὲ αἱ κατὰ ἀλλοίωσιν. ἐπὶ πάντων δὲ τῶν ἄλλων μεταβολῶν ὡς εἰκάζω διαφερουσῶν ἀλλήλων, εἰς τὴν ἀλλοίωσιν ἀπορίαν εἶναι φησί. μήποτε τὸ ἀλλοιούμενον καὶ κατὰ ἄλλην πάντως κινεῖσθαι κίνησιν, ἀλλὰ τὴν ἀλλοιοῦσθαι. ὡς πολλοὺς λέγουσιν κατὰ τόπον κινεῖσθαι. οὗτοι δὲ δημοκρίτῳ καταπολουθοῦντες, καὶ περὶ τῶν ἄλλων ἀμφισβητοῦσι κινήσεων. μηδὲ ἵστασθαι πάντας ἐπιζητεῖν ἀνάγειν. ἀλλ' ἐκ συγχωρηθέν οἱ τοῦτο λέγοντες, καὶ τὴν τῶν μορίων μεταβάσει ποιεῖν τὴν ἀλλοίωσιν. καὶ οὕτως ἄλλη μὲν ἡ κατὰ τόπον μεταβολὴ μορίων οὖσα, ἄλλη δὲ ἡ ἀλλοίωσις τῷ ὅλῳ ὑπάρχουσα μὴ μεταβαίνοντι κατὰ τόπον. καὶ ἐπὶ τῆς αὐξήσεως δὲ ὁμοίως. ἄλλη μὲν ἡ τῶν μορίων φορά, ἄλλη δὲ ἡ τοῦ αὐξανομένου κίνησις οὐδαμοῦ μεταβαίνοντος. ἐπεὶ οὖν ἄλλο μὲν ἡ φορά, ἄλλο δὲ τὸ ἀλλοιούμενον καὶ αὐξόμενον καὶ μειούμενον, οὐκ ἂν εἴη ταὐτὸν ἡ φορὰ τοῖς τοιαῦταις κινήσεσιν. ἐπεὶ τοῖς δὲ καὶ ἐπὶ τῆς ἀλλοιώσεως ἐπιμάλιστα τὴν ἀπορίαν φασί. διότι τοῖς ἄλλαις κινήσεσιν ἕπεσθαι τὴν ἀλλοίωσις. καὶ τὸ τοῖς αὐξομένοις καὶ μειουμένοις, καὶ τοῖς γινομένοις καὶ φθειρομένοις, ἀλλοιουμένοις τὸ ὑπάρχειν, καὶ καθ' ἕκαστον τούτων καὶ τὰ κατὰ τόπον κινούμενα, καὶ ἠρεμοῦντα θερμαίνεσθαι καὶ ψύχεσθαι καὶ χρωματίζεσθαι διαφορᾶς. ἐπεὶ οὖν ἄλλη τις κίνησις, καὶ ἅμα ἀεὶ παρακολουθεῖ ἡ ἀλλοίωσις, οὐκ ἂν εἴη φαῖεν καθ' αὑτὴν κίνησις ἀφωρισμένη. καὶ οἱ περὶ δημόκριτον δὲ, καὶ ὑστερονοῖ περὶ βαπτοῦντον τὰς ἀτόμους ἀπαθεῖς καὶ ἀποίους ὑποτιθέμενοι τῶν ἄλλων ποιότητα, πλὴν τὰ σχήματα καὶ τὴν ποιὰν ἀλλὰ συνθέσιν, ἐπιτίθεσθαι λέγουσι τὰς ἄλλας ποιότητας. τάς τε ἁπλᾶς οἷον θερμότητας καὶ λαμπότητας, καὶ τὰς κατὰ χρώματα καὶ τοὺς χυμοὺς. ἐπὶ δὲ τῇ ποιᾷ συνθέσει τῶν ἀτόμων ταῦτα καὶ ἡ ἀλλοίωσις ἄλλη, κατὰ ταῦτα οὖν εἶναι μεταβολή. ἡ δὲ ποιὰ σύνθεσις ἀλλῶν καὶ μετάθεσις καὶ τάξις, οὐκ ἀναχόθεν ἢ ἐκ τῆς φορᾶς καὶ τῆς τοπικῆς κινήσεως δεῖν. ὥστε ἡ



πλευρὰς παραλληλογράμμου τῶν πεῖ τὴν διάμετρον αὐτοῦ κ παραλληλογράμμων.

εἰ ὁ ποιοῦν σὺν τοῖς δυσὶ παραπληρώμασι, γνώμων καλείσθω.

Universitäts- und
Landesbibliothek Düsseldorf

ἀλλοίωσις τῇ φθορᾷ ἡ αὐτή. ἡ παραπολουθοῦσα ταύτῃ καὶ τοῦτο φησὶν ἡ
ἀλλοίωσις τῶν ἄλλων κινήσεων ἡ αὐτή ἐστιν, ἔδει τὸ ἀλλοιούμενον καὶ ἐκείνων πάντως κινεῖ-
σθαι τὴν κίνησιν. νῦν δὲ πολλὰ ὁρῶμεν λευκαινόμενα καὶ θερμαινόμενα, καὶ τὰς ἄλλας
ποιότητας μεταβάλλοντα. καὶ μήτε αὐξόμενα μήτε μειούμενα καὶ γινόμενα καὶ φθε-
ρόμενα. μηδὲ μὴν κατὰ τόπον μεταβάλλοντα. ὁμοίως δὲ καὶ τὸ κινούμενον ἄλλην κί-
νησιν. οἷον τὸ αὐξόμενον. ἡ τῆς αὐξήσεως ἡ αὐτή ἐστιν. εὐθέως καὶ ἀλλοιοῦσθαι. πολλὰ δὲ αὐξό-
μενα, οὐκ ἀλλοιοῦται, ὡς πρὸς τὴν παραθέσεις τὸ γινόμενον τετράγωνον.
καὶ θαυμαστῶς ἐπὶ τῆς αὐξήσεως εὕρεν ἐπισυμβᾶσαν ὅλως ἀλλοίωσιν. ἐπὶ γὰρ τῶν
ἄλλων κινήσεων, δύσκολον τὸ μὴ συνυπάρχειν αὐτήν. καὶ γὰρ τὸ κατὰ τόπον κι-
νούμενον θερμαίνεται. καὶ τῇ θερμότητι χρῶμα διάφορον ἀπολουθεῖ. καὶ τὸ γι-
νόμενον καὶ φθειρόμενον, ἀλλοιουμένων ἀνάγκη, ἐκείνας κινεῖσθαι τὰς κινήσεις. διόπερ ἐπὶ τῆς ἀλλοιώ-
σεως ἡ ἀπορία χώραν ἔσχε. καὶ συνυπάρχει δὲ, ἡ αὐτή ἐστιν ἐκείναις. ἀλλ' ὅτι μὲν ἄλλη
πρὸς τὰ διαφορά ἐστιν ἡ ἀλλοίωσις, δέδεικται, εἴπερ καὶ τοὺς τὴν αὐτὴν τιθέντας, ἄλλο
μέν ἐστιν ἡ φορὰ τῶν μορίων ὥς φασιν, ἄλλου δὲ ἡ ἀλλοίωσις τὸ ἄλλο. ὅτι δὲ ἄλλη πρὸς τὴν
αὔξησιν, ἱκανῶς ἐκ τῆς τετραγώνου αὐξήσεως δέδεικται. καὶ γένεσεως δὲ καὶ φθορᾶς,
ἑτέρα ἡ ἀλλοίωσις. καὶ γὰρ αὐτὴ μισοῦμεν τὸ ὑποκείμενον, ἡ γένεσις καὶ φθορά. ἡ μὲν,
ἐκ μὴ ὄντος εἰς ὄν. ἡ δὲ, ἐξ ὄντος εἰς μὴ ὄν. τρυτὸ δὲ καὶ τῶν ἄλλων ἡ γένεσις καὶ ἡ φθορὰ διαφέρουσιν. ὅλως δὲ, ὡς διαφέρουσιν αἱ τέσσαρες κατηγορίαι ἀλλήλων, ἥ τε οὐσία, καὶ τὸ πο-
σὸν, καὶ τὸ ποιὸν, καὶ τὸ ποῦ, τρόπον καὶ κατὰ ταύτας τὰς κινήσεις διοίσουσιν. ἔτι δὲ ἁπλῶς
μὴ κίνησις ἠρεμία ἐναντία. ἕως τοῦ, ἀλλοιοῦται δὲ εἰς τοὐναντίον τὸ ποῦ, μεταβολῆς
γινομένης. ζ. ὡς πρὸς τινὰς τῶν κατηγοριῶν, οὕτως καὶ τὴν κίνησιν ἐπὶ δεκτικὴν τὴν ἐναντίου
θεασάμενος, ἁπλῶς μὴ τὴν κίνησιν τὴν ἠρεμίαν εἶναι φησὶν ἐναντίαν. οὐ τοῦ τάσιν καλῶν,
ἀλλὰ τῆς κινήσεως ἀποφάσιν καὶ στέρησιν. ταῖς δὲ καθ' ἕκαστα κινήσεσι, τὰς καθ' ἕκαστα
κινήσεις. γενέσει μὲν, φθορὰν. αὐξήσει δὲ, μείωσιν. αὗται δὲ καὶ συζυγίαν ἀνθέστοι προσ-
χήσουσιν. ἡ δὲ κατὰ τόπον μία εἶναι δοκοῦσα, τὴν ἀνέχει ἐναντίον. καθόσον μὲν κίνησις κατὰ
τόπον, τὴν κατὰ τόπον ἠρεμίαν. καθόσον δὲ ἐναντιώσεις εἰσὶ τοπικαὶ, ἐναντίον δὲ τὸ ἄνω
τῷ κάτω, καὶ τοῦτο καὶ κίνησις εὑρεθήσεται ἐναντία ἐπὶ τὴν ἐναντίον τόπον. οἱ ἐπὶ τὴν κά-
τω κίνησις, τὴν ἐπὶ τὴν ἄνω κινήσει. τὴν δὲ λοιπῶν τῶν κινήσεων, τοῦ τεῖ τὴν ἀλλοιώσει, καὶ
τὸ ποιὸν οὐσιῶν κινήσει, οὐ ῥᾴδιον φησὶν ἀποδοῦναι τὸ ἐναντίον. οὐ χρῶνται οὐκ εἰσὶ ποιό-
τητες ἐναντίαι καὶ κινήσεις κατ' αὐτὰς, ἀλλ' ὅτι οὐκ ἔστι σύνηθης καὶ τοῦτο τῆς ἀνθέσε-
ως ὄνομα. πλὴν ὅτι οὐ δὲ κίνησις οὕτως ἐναργὴς ἡ καὶ ἀλλοίωσιν, ὡς ἡ καὶ τὸ ποῦ. μικρὸν
δὲ ἐπιστήσασθαι δεῖται. διὸ καὶ ἀναλογίαν μεταλαγεῖν ἀξιοῖ τὰ ἐπὶ τῆς τοπικῆς κινήσεως
ἠρεμήματα, ἐπὶ τὸ καὶ τὸ ποιόν. ἐναντίαν τὴν καὶ τὸ ποιόν κινήσει, τὴν τε ἐν τῷ αὐτῷ τῷ
ποιῷ τῷ μεταβάλλον τὴν ἠρεμίαν, καὶ τὸ ἐκ τοῦ ἐναντίου ποιοῦς τοῦ μεταβολὴν. οἱ
τὴν τὸ λευκοῦς μέλαν, ἣν μελάνωσιν καλοῦσι. καὶ τὸ ἐκ τὸ μέλανος εἰς τὸ λευκόν, ἣν
λεύκανσιν ὀνομάζουσι. μὴ μὲν τοι ἐκ τὸ λευκοῦς τὸ μέλαν κινήσει τὸ ἐν τῷ λευκῷ ἠρε-
μίαν ἀνθεστέον. ἀφίστασθαι δὲ τὸ ἐναντίον, ἀλλ' οὐκ εἰς τὸ αὐτὸ καὶ ἀνάγκη. ἠρεμίαν
δὲ ἀνθυστέον φησὶν Ἰάμβλιχος, τὴν τῆς κινήσεως στέρησιν. καὶ κατὰ χρῆσιν ὡς ἐναντίαν

ἐκάλεσε. ζητοῦσι δὲ καὶ τῆς γενέσεως καὶ φθορᾶς, εἴνας αὐταῖς ἠρεμίας ἀνιθέτου. καὶ
λέγουσι τὴν μὲν γένεσιν, τὸ τῶν μὴ εἶναι. οὕτως δὲ καὶ τὴν αὔξησιν, ἡ κατὰ τελεῖς, ἠρεμία ἀν-
ίκεται. τὴν δὲ μείωσιν, ἡ κατὰ τὸ τέλειον. πλὴν τίνος δὲ ἐφίστασιν, ὅτι ἀπροφάσεως δεῖ τὸ
κινεῖσθαι ἡ ἠρεμία. διότι οὐ δὲ σύγκειται ἄνευ ἠρεμίας. εἶτα ζητήσας, διατί οὐχὶ καὶ κίνη-
σις ἀπόφασις τῆς στάσεως, ὅτι φησὶν ἡ ἐκεῖ φέρουσα κίνησις δεῖ. καὶ ὅτι ἡ κίνησις, ἔργον.
καὶ ἔστιν ἀμφότερα συνεργοῦν καὶ οἰωθοῦν τὸ ὑποκείμενον, καὶ μυρία ἐργαζόμενα αὐτὸ καὶ φθείρον. ἡ δὲ
ἠρεμία ἑκάτερον, οὐδὲν ἔστιν ἄμφω περὶ αὐτό. σημαίνει δὲ μόνον, ὅτι κίνησιν οὐκ ἔχει. καὶ δὲ
τῶν νοητῶν φησι, οὐχὶ αὐτὸς τρόπος τῶν θατέρου μὴ ἀναιρεῖν τὸ ἕτερον, ἀλλ' ἄμφω ἅμα
εἶναι, καὶ τὴν κίνησιν καὶ τὴν στάσιν. ὁ μὲν γὰρ βοηθὸς τὴν ἀνίκητον μάχην ἠρεμίαν τὴν κατὰ ποιό-
τητα κινήσει, οὐκ ἄξιον ποιότητα εἶναι. οὐδὲ τὴν κατὰ μέγεθος. οὐδὲ τὴν κατ' οὐσίαν. σύναρ-
γεις λέγων τοῦ τὸ εἶναι ἐκ τῆς κατὰ τόπον. ἄλλον γὰρ τὸν τόπον ἠρέμησιν, τόπον κα-
λεῖν. οὐ μὴν οὐδὲ ἀπροφάσεις τῶν κατ' αὐτὰς κινήσεων τὰς ἠρεμίας εἶναι συγχω-
ρεῖ, ἀλλὰ σχέσιν εἶναι τὴν ἠρέμησιν καὶ τὴν κίνησιν, πρός τε τὸν λόγον καὶ τὸ εἶδος, καθὸ ἀν-
τὶ τοῦ κεκινεῖσθαι νῦν τὸ ἠρεμεῖν. ἔοικε γὰρ φησὶν ὁ λόγος φύσιν ἔχειν, ὡς τε ἀεὶ ἐρεῖν, καὶ
εἰς ἑτεροῖα μεθίστασθαι. διὰ δὴ τοῦτο συμπαρήκει πάσι κινήσει καὶ ἠρεμία. ἡ μὲν οὖν κί-
νησις, ὁμοίως ἔχει πρός τε τὸν λόγον καὶ τὸν τόπον. οἱ, καὶ μεφορᾶς ἔχειν φησὶν ὁμοίως,
διὰ τὸ καθ' ἕτερον καὶ ἕτερον ἀεὶ τοῦτο γίνεσθαι. ἡ δὲ ἠρέμησις, σύνεστιν ὡς φησὶν πρὸς
τὸν τόπον ἔχει καὶ τὸν λόγον. ὁ μὲν λόγος, οὐδέποτε ὁ αὐτός. ὁ δὲ τόπος ἀεὶ ὁ αὐτός. ὥστε
ἡ σχέσις αὐτῶν, πρός τε τὸν λόγον καὶ τὸν τόπον διάφορος οὖσα, ὁ τὲ μὲν, ἠρεμία. ὁ τὲ δὲ, κίνη-
σις μ'. καὶ σύνεστιν ἄμφοις φησὶν καὶ τὰ αὐτὰ ἐροῦμεν. ὅταν μὲν ἡ αὐτὴ σχέσις ἡ τὸ ὑποκεί-
μενον, πρός τε τὸν λόγον καὶ τὸ μέγεθος, κίνησιν εἶναι. ὅταν δὲ σύνεστιν ἡ τὸ μέγεθος,
ἠρεμίαν. τὸ δὲ αὐτὸ καὶ πεῖ ἀνομοιώσεως ἐρεῖ τοῦ. ὥστε δηλοῦ φησὶν ἐκ τούτων, ὅς οὐκ αὐτὸ
τὸ μέγεθος οὐδὲ αὐτό. καὶ οἱ τρόποι οὖν τῶν ἠρεμήσεων, οἱ αὐτοὶ οἱ πρὸς καὶ τῶν κινήσεων.
καθ' ἕκαστον γὰρ τῆς σχέσεως αὐτῆς ἐδείχθη σύνεστιν τὸ τῆς, ἐπί τε τῶν κινουμένων καὶ
ἠρεμούντων. ταῦτα μὲν οὖν ὁ βοηθὸς κατὰ τὴν ἑαυτοῦ ἀρχαῖοι διακρίνει. μήποτε
δὲ οὔτε ἡ κίνησις οὔτε ἡ ἠρεμία σχέσις πρὸς χρόνον δεῖν. εἴπερ ἀεὶ θ μὸς κινήσε-
ως ὁ χρόνος. ἀλλὰ ζητεῖν οἶμαι ἄξιον διὰ τὴν κίνησιν μὴ τὴν στάσιν ἀντιθέτεμεν ὡς
εἶδος εἴδει. τῶν γὰρ πρὸ πλάτων τοῦ ὄντος γενῶν, καὶ ἡ κίνησις ἐστὶ καὶ ἡ στάσις. ὥς-
περ κίνησίς ἐστι καθάπερ τῶν ἀριθμῶν γενῶν, οὕτως εἶναι δεῖ πάντως καὶ στάσιν
τὴν ἀντικειμένην τῇ κινήσει. οὐ γὰρ μόνον γίνεται καὶ οὐσία καὶ φθείρεται, ἀλλὰ καὶ
ἔστι. καὶ τοῦτο κατὰ τὴν στάσιν ἔχει. καὶ κατὰ τόπον οὐ κινεῖται μόνον τὰ σώματα,
ἀλλὰ καὶ ἕστηκε. καὶ ἡ στάσις αὕτη, οὐκ ἀπόφασίς ἐστι τῆς κινήσεως. οὐ γὰρ κατὰ ἀπό-
φασιν κινήσεως ἕστηκε πρὸς τὸ κινεῖσθαι ἡ γῆ. ὡς περ οὐδὲ ὁ οὐρανὸς κατὰ ἀπόφασιν
στάσεως κύκλῳ κινεῖται. ἔχει γὰρ καὶ ἡ στάσις οὐκ ἐλάττονα τῆς κινήσεως σύνεργεί-
αν, ὡς δηλοῖ τὸ μὴ δὲ αὐτὴν εἶναι τὴν κίνησιν, στάσεως τελέως ἀναιρεθείσης. ἀλλ'
εἴπερ ὅρα τὴν ἠρεμίαν τοῦ τὸν ὡς ἀπόφασιν τῆς κινήσεως θετέον σύν τοῖς βίᾳ ἀκι-
νητίζουσιν. ὡς περ σὺν τῇ βώλῳ τῇ βιαίᾳ σὺν ἀέρι ἐχομένῃ. αὐτὴ γὰρ οὐκ ἔστι στάσις,
ἀλλ' ἀπόφασις πάντως κινήσεως καὶ ἠρεμίας. διόπερ καὶ τὴν ὡς στέρησιν ἀνιθέντες τῇ

κινήσει, καλῶς ἀντιθήσομεν. ὅς μόνον ἐν ἑαυτῷ εἶδος τὴν στάσιν οἶμαι, ἀντιθετέον τήν τε πρὸ τῆς κινήσεως καὶ μετὰ τὴν κίνησιν. τάχα δὲ καὶ τὴν ἐν αὐτῇ τῇ κινήσει. καὶ ἑκάτερον δὲ μὴ πρῶμεν ζητεῖν. διαφέρει μεταβολῆς οὔσης ἐν τοῖς ὀνομαστικοῖς πράγμασι καθ' ἑκάστην τῶν κατηγοριῶν, κατὰ τέσσαρας μόνας ἀφωρίσαντο τὰς μεταβολάς. οὐσίαν. ποσόν. ποιόν. Ἐπὶ τὸ ποῦ. κατὰ δὲ οὐ μόνον τὸ ποῦ τὸ μεταβάλλομεν, ὅταν ἐκ νέων παλαιοί, καὶ ἐκ παίδων γιγνόμεθα πρεσβύται. κατὰ δὲ τὸν πρόσθεν, ὅταν ἐξ ἐχθρῶν φίλοι. καὶ ἐξ ἀριστερῶν, δεξιοί. καὶ ἐξ ἀνίσων ἴσοι. κατὰ δὲ τὸ ποιόν καὶ πάσχειν, πρόδηλον ὅπως ἐν τὰ ἐναντία ἑκάστοτε μεθιστάμεθα. Ἐπὶ τὸ καθαρὸν δὲ πολλὰς λαμβάνει μεταβολάς. μετὰ πυρὸς δὲ κλίνη. καὶ μάλιστα δὲ αὐτῶν ἐπαζόμεθα, ἔχοντες πολλάκις δακτύλιον, κώπης οὖν, μεταβάλλομεν ἐν τὸ μὲν ἔχειν, καὶ ἅμα αὐτὸ φυτεύειν. διαφέρει δὲ ἀπὸ μετὰ κάτω τὸ ποῦ ἐν τὰνω, καὶ ἀπὸ λευκοῦ χρώματος ἐν μέλαν διὰ κινήσεως μεταβαίνομεν. αὐτὸ δὲ τὸ ἐρημεῖν μεταβολῶν, οὐκ ἐν κινήσεων θέμενοι εἶδη. οὐδὲ τὸ ἐρεμεῖν οἶμαι ὑπὸ τὰ τέσσαρα εἴδη τῶν μεταβολῶν, καὶ τὰ ἐρημέμενα ἀνάγεσθαι. ἐπεὶ οὔτε καὶ τὰς κατηγορίας τὰς ἓξ, ὑπὸ τὰς τέσσαρας ἀνάγει. ὁ δὲ μάλιστα θαυμάζω, πῶς κατὰ τὸ ποῦ κίνησιν ἰδόντες, κατὰ χρόνον οὐκ ἐθέασαντο. ἐμὴ δόξα ὁ κίνησιν χρόνου τιθεὶς, καὶ χρόνον χρόνου λέγειν ἀναγκαθήσεται, πῶς δὲ αὐτὸς ἀριστοτέλης ἐν τῷ γ΄ τῶν φυσικῶν σαφῶς ἐστιν, ὥστε κινήσεως καὶ μεταβολῆς ἐστιν εἴδη τριῶν τὰ ὅσα φύσις. ὅμως καὶ ἐν τῷ πέμπτῳ τῆς πραγματείας ἐκείνης, καὶ ἐν ταῖς θ΄ οὐκέτι δέκα, ἀλλὰ τέσσαρα εἴδη κινήσεως ἀπεφήνατο. ἐπειδὴ δὲ ἐν τῷ πέμπτῳ τῆς φυσικῆς ἀκροάσεως, καὶ τὰς αἰτίας ἀποδιδόναι προθεῖ ὁ ἀριστοτέλης δι' ἃς ἐν τοῖς ἄλλοις γένεσιν οὐφίσιν εἶναι κίνησιν καὶ μεταβολήν. πρὸς μὲν ἐκείνους τοὺς ἀπολογισμοὺς ἐπιφέρειν λέγειν, ἐν ταῖς δὲ ἐκείνην τὴν πραγματείαν σχολαῖς. ἵνα μὴ πολυμερόν τις ἡμῖν ἔσται μελέτη, ἀκριβέστερον γαρυόμενον διὰ πρὸς ὄρεξιν χρεῖον καὶ πάνυ δαρον, ἐθέλω καὶ τὸν ἄριστον τῶν ἀστοῦ μαθητῶν θεόφραστον ἐπιδεῖξαι ταῖς ἐμαῖς ἐπινοίαις συμψηφιζόμενον. λέγει δὲ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ τῶν φυσικῶν, οὕτως. πεῖ δὲ κινήσεως, τὴν μὲν κοινὸν καὶ καθόλου λόγον, οὐ χαλεπὸν ἀποδοῦναι καὶ δῆλον, ὡς ἐνέργειά τις δοκεῖν ἀτελὴς τοῦ δυνάμει ὄντος. ἡ τοιοῦτον καθ' ἕκαστον γένος τῶν κατηγοριῶν. ὁ καὶ διὰ τῆς ἀναθήκης σχεδὸν φαίνεται. ἀλλὰ ταῦτα μὲν καὶ τῆς πολλῆς σύνηθείας τῶν φιλοσόφων ἠπορημένα, ἀκριβεστέρας καὶ πρὸς ἡμῶν καὶ πρὸς ἄλλων τυχανέτω ζητήσεως. μήποτε δὲ οὐδὲ ἀπορίας ἄξια τυγχάνουσιν. οἱ μέντοι γε νῦν οἱ διαφέρειν ἀλλήλων ἡγοῦνται, τὸ μένειν. τὸ ἠρεμεῖν. τὸ ἡσυχάζειν. τὸ ἀκινητεῖν. τὸ ἀκινητίζειν. μένειν γὰρ αὐτὸ ἐνδέχεται πρὸς ἕνα χρόνον. ἀλλὰ πρὸς τὸν ἐνεστῶτα καὶ μηδέποτε, μένειν δὲ λέγομεν, τὸ κατέχον τὸν αὐτὸν χρόνον καὶ καθ' ἕξιν. τὸ γὰρ κατεσχηκὸς, μεμενηκέναι λέγομεν. χρώμεθα δὲ φασὶ καὶ ἐπὶ τοῦ μὴ κινεῖσθαι τῷ μένειν. ὥστε κατὰ χρηστικὸν ἐπιφέρειν ἀντίνα καὶ ἐπὶ τῶν ἀσωμάτων τῷ μένειν, ἀντὶ τοῦ μὴ κινεῖσθαι. ποιοῦν μὲν οὖν πάντων σωμάτων τὸ μένειν. τὸ δὲ ἠρεμεῖν φασὶ, μήποτε ζώων ἐστὶ σύμπτωμα. λίθος γὰρ οὐκ ἠρεμεῖ. ζώων δὲ καὶ τὸ ἡσυχάζειν. τὸ ἀκινητεῖν καὶ ἀκινητίζειν, ἐπὶ τῶν σωμάτων λέγεται, ἃ πέφυκε μὴ κινεῖσθαι. ἀντὶ τοῦ μὴ κινεῖσθαι δὲ λέγεται.